Τῶν καταπρώκτων] καὶ ἐνταῦθα ἐξ ἔθους ὁ ποιητὴς αἰσχρᾷ εὐτραπελίᾳ χρῆται παίζων πρὸς τὰ φάρμακα, ἃ καταπασα καλεῖται. τοὺς δὲ ἰατροὺς ὡς καταπύγωνας αἰνίττεται. ὁ δὲ νοῦς ἐστί, τίς ἐστι τῆς καταπυγοσύνης ἐμπειρότατος; ἤ, ὃ ἐστιν ἁπλούστερον, τίς κάλλιστα οἶδε τὰ φάρμακα τῷ πρωκτῷ τῷ νοσοῦντι χρησιμώτατα;

Σχόλια. Αμυνίων] ῥήτωρ ἡταιρηκώς. οὐκ ἰατρὸς ὁ Αμυνίων. καὶ ὁ Αντισθένης δὲ ἰατρὸς θηλυδριώδης. Εἰλείθυια.] ἐπεὶ αἱ ὠδίνουσαι ἐπικαλοῦνται τὴν Εἰλείθυιαν. καὶ αὐτὸς οὖν στενοχωρούμενος ἐπικαλεῖται αὐτήν. Σκωραμίς] ἀμὶς μὲν ἐν ᾧ οὐροῦσι. σκωραμὶς δὲ ἐν ᾧ ἀποπατοῦσιν.

ΧΡΕΜΗΣ, ΒΛΕΠΥΡΟΣ.

CHREMES, BLEPYRUS.

Bisetus. Χρέμης ἐκ τῆς ἐκκλησίας ἐπανελθὼν τὰ ἐν αὐτῇ πεπραγμένα τῷ Βλεπύρῳ διηγεῖται.

Χρ. Οὗτος τί ποιεῖς, οὔτι που χέζεις; Βλ. ἐγώ.
Οὐ δῆτ' ἔτι γε μὰ τὸν Δί' ἀλλ' ἀνίσταμαι.
Χρ. Τὸ τῆς γυναικὸς δ' ἀμπέχει χιτώνιον.
Βλ. Ἐν τῷ σκότῳ γὰρ τοῦτ' ἔτυχον ἔνδον λαβών.
Ἀτὰρ πόθεν ἥκεις ἐτεόν. Χρ. ἐξ ἐκκλησίας.
Βλ. Ἤδη, λέλυται γάρ. Χρ. νὴ Δί' ὄρθριον μὲν οὖν.
Καὶ δῆτα πολλὴν ἡ μίλτος ὦ Ζεῦ φίλτατε
Γέλων παρέσχεν ἣν προσέρραινον κύκλῳ.
Βλ. Τριώβολον δῆτ' ἔλαβες; Χρ. εἰ γὰρ ὤφελον.
Ἀλλ' ὕστερος νῦν ἦλθον, ὥστ' αἰσχύνομαι.
Μὰ τὸν Δί' οὐδὲν ἄλλον ἢ τὸν θύλακον.
Βλ. Τὸ δ' αἴτιον τί. Χρ. πλεῖστος ἀνθρώπων ὄχλος
Ὅσος οὐδεπώποτ' ἦλθεν ἀθρόως ἐς τὴν Πνύκα.
Καὶ δῆτα πάντες σκυτοτόμοις εἰκάζομεν
Ὁρῶντες αὐτούς. οὐ γὰρ ἀλλ' ὑπερφυῶς
Ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡκκλησία.
Ὥστ' οὐκ ἔλαβον οὔτ' αὐτὸς οὔτ' ἄλλοι συχνοί.
Βλ. Οὐδ' ἄρ' ἂν ἐγὼ λάβοιμι νῦν ἐλθών; Χρ. πόθεν;
Οὐδ' εἰ μὰ Δία τότ' ἦλθες, ὅτε τὸ δεύτερον
Ἀλεκτρυὼν ἐφθέγγετο. Βλ. οἴμοι δείλαιος.
Ἀντίλοχ' ἀποίμωξόν με τοῦ τριωβόλου
Τὸν ζῶντα μᾶλλον. τἀμὰ γὰρ διοίχεται.
Ἀτάρ, τί τὸ πρᾶγμ' ἦν ὅτι τοσοῦτον χρῆμ' ὄχλου
οὕτως ἐν ὥρᾳ ξυνελέγη; Χρ. τί δ' ἄλλο γ' ἢ
Ἔδοξε τοῖς Πρυτάνεσι περὶ σωτηρίας
Γνώμας καθεῖναι τῆς πόλεως. κᾆτ' εὐθέως
Πρῶτος Νεοκλείδης ὁ γλάμων παρείρπυσεν.
Κἄπειθ' ὁ δῆμος ἀναβοᾷ πόσον δοκεῖς.
Οὐ δεινὰ τολμᾶν τουτονὶ δημηγορεῖν,
Καὶ ταῦτα περὶ σωτηρίας προκειμένου.
Ὃς αὐτὸς αὑτῷ βλεφαρίδ' οὐκ ἐσώσατο.
Ὁ δ' ἀναβοήσας καὶ περιβλέψας ἔφη,
Τί δαί με χρὴ δρᾶν. Βλ. σκόροδ' ὁμοῦ τρίψαντ' ὀπῷ,
Τιθυμάλλου ἐμβαλόντα τοῦ Λακωνικοῦ
Σαυτοῦ παραλείφειν τὰ βλέφαρα τῆς ἑσπέρας,
Ἔγωγ' ἂν εἶπον εἰ παρὼν ἐτύγχανον.

CHR. Hic quid facis? non cacas? BLE. ego,
Non certè adhuc per Iouem, sed resurgo.
C CHR. Mulieris autem indutus es tribonium.
In tenebra enim hoc contigit intus capiens.
Sed vnde venis verè? CHR. ex concilio.
BLE. Iam solutum est enim? CHR. per Iouem diluculo quidem igitur, (cissime,
Et certè multum terram rubram ô Iupiter dileRisum præbuit, quam dispersit circulo.
BLE. Triobolum igitur accepisti? CHR. vtinam enim debuissem,
Sed vltimus nunc iui. quare erubesco
D Per Iouem nil aliud quàm vtrem. (turba
BLE. Hæc causa quæ? CHR. plurima hominū
Quanta nunquam venit densè in Pnyca.
Et certè omnes coriarij assimulamus
Videntes ipsos. non enim, sed eximiè,
Valde albam multitudinē erat videre conciliū,
Quare non accepi, neque ipse, neque alij densi.
BLE. Neque ego capiā nunc iens. CHR. vnde?
Neque si per Iouem tunc venisses, quādo secūdò
Gallus cantasset. BLE. hei miser,
E Antiloche, luge triobolo
Viuentem magis, mea enim præterierunt.
Sed quæ res fuit, quòd tanta res multitudinis
Sic in hora cōgregata est? CHR. quid aliud, quā
Visum est gubernatoribus circa salutem
Sententias deponere ciuitatis? & postea statim
Primus Neoclides luscus serpsit,
Et postea populus reclamat (quantum putas?)
F Non eloquentia audire hunc concionari.
Et maximè circa salutem præiacente,
Quòd ipse sibiipsi palpebras non saluauit.
Hic autem reclamans, & circumspiciens dixit,
Quid autē me oportet facere? BL. allia simul terentē lacte ficus
Lactariā iniicientē Laconici, (rentē lacte ficus
Tibi ipsi vngere palpebras vespere,
Ego dixissem, si præsens contigissem.

Σχόλια. Οὗτος τί ποιεῖς] ἀνήρ τις ἐπανιὼν ἀπὸ τῆς ἐκκλησίας Χρέμης. Η μίλτος] κατὰ γὰρ τὴν ἀγορὰν εἰσόδου εἰς ἐκκλησίαν τοὺς Αθηναίους μεμιλτωμένῳ σχοινίῳ. μίλτος δὲ χρώματος εἶδος ἐρυθροῦ. ὁ Ομηρος νῆες μιλτοπάρειοι. προσέρραινον δὲ προσέβαλον. θύλακον δὲ ἀρτοθήκην σημαίνειν καὶ ἐν Πλούτῳ ζητητέον. αἰσχύνομαί φησιν ἐπεὶ κενὸς ἔσται. Σκυτοτόμοι.] ἐπεὶ ἐν σκιᾷ καθεζόμενοι ἐργαζονται, τοῦτο ἔφη. Τὸ δεύτερον.] ὁ γὰρ ἀλεκτρυὼν τρίτον φθέγγεται. Αποίμωξόν με] παρὰ τὰ ἐξ Αἰσχύλου Μυρμιδόνων. Αντίλοχ' ἀποίμωξόν με τοῦ τεθνηκότος τὸν ζῶντα μᾶλλον. Τἀμὰ γὰρ διοίχεται.] ἀντὶ τοῦ ἀπόλωλα. Ἐν ὥρᾳ.] τοῦ ὄρθρου δηλονότι. Τοῖς Πρυτάνεσι.] τὸ δέκατον μέρος τῆς βουλῆς τῶν πεντακοσίων πεντήκοντα ἄνδρες ἀπὸ μιᾶς φυλῆς οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς